





+ Εὐκλείδου στοιχείων α΄

Σημεῖόν ἐστιν οὗ μέρος οὐθέν. Γραμμὴ δὲ μῆκος ἀπλατές.
Γραμμῆς δὲ πέρατα σημεῖα. Εὐθεῖα γραμμή ἐστιν ἥτις ἐξ ἴσου τοῖς
ἐφ' ἑαυτῆς σημείοις κεῖται. Ἐπιφάνεια δέ ἐστιν ὃ μῆκος καὶ πλάτος
μόνον ἔχει. Ἐπιφανείας δὲ πέρατα γραμμαί. Ἐπίπεδος ἐπιφά-
νειά ἐστιν ἥτις ἐξ ἴσου ταῖς ἐφ' ἑαυτῆς εὐθείαις κεῖται. Ἐπίπεδος δὲ
γωνία ἐστὶν ἡ ἐν ἐπιπέδῳ δύο γραμμῶν ἁπτομένων ἀλλήλων καὶ μὴ ἐπ' εὐ-
θείας κειμένων πρὸς ἀλλήλας τῶν γραμμῶν κλίσις. Ὅταν δὲ αἱ
περιέχουσαι τὴν γωνίαν γραμμαὶ εὐθεῖαι ὦσιν, εὐθύγραμμος
καλεῖται ἡ γωνία. Ὅταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς
ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα
τῶν ἴσων γωνιῶν ἐστι, καὶ ἡ ἐφεστηκυῖα εὐθεῖα κάθετος καλεῖται
ἐφ' ἣν ἐφέστηκεν. Ἀμβλεῖα γωνία ἐστὶν ἡ μείζων ὀρθῆς.
Ὀξεῖα δὲ ἡ ἐλάσσων ὀρθῆς. Ὅρος ἐστὶν ὅ τινός ἐστι
πέρας. Σχῆμά ἐστι τὸ ὑπό τινος ἤ τινων ὅρων
περιεχόμενον. Κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς
γραμμῆς περιεχόμενον, ἣ καλεῖται
περιφέρεια, πρὸς ἣν ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς τοῦ
σχήματος κειμένων πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι
πρὸς τὴν τοῦ κύκλου περιφέρειαν ἴσαι ἀλλήλαις
εἰσί. Κέντρον δὲ τοῦ κύκλου τὸ σημεῖον καλεῖται.